# ΕΥΧΗ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΣΠΥΡΙΔΩΝΑ
### ΕΡΑΝΙΣΘΕΙΣΑ ΕΚ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΨΕΩΣ
### ΧΑΡΙΝ ΤΟΙΣ ΠΡΟΣ ΤΟΝ ΑΓΙΟΝ
### ΕΥΛΑΒΕΣΙ.

Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, μακρόθυμε καὶ πολυέλεε, ὁ τῇ ἀρρήτῳ σου προνοίᾳ τὸν πιστόν σου δοῦλον Σπυρίδωνα ἀπὸ τῆς τῶν ἀλόγων ζώων μάνδρας προσκαλεσάμενος, ποιμένα καὶ Ἐπίσκοπον τῆς Ἐκκλησίας τῶν λογικῶν σου προβάτων εὐδοκήσας ποιῆσαι, ἵνα δείξῃς, ὅτι ἡ δύναμίς σου ἐν ἀσθενείᾳ τελειοῦται, ποίμανον ἡμᾶς, δεόμεθά σου, τῇ ῥάβδῳ τῆς Θεϊκῆς σου ἐξουσίας εἰς νομὰς ζωηφόρους, καὶ μὴ ἐάσῃς ἡμᾶς ἀφόβως ποιμένειν ἑαυτοὺς, μηδὲ πλανᾶσθαι εἰς τὰ βάραθρα τῆς ἀπωλείας, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα· ἀλλ᾽ ἐκ πάσης ἀλόγου ἐπιθυμίας καὶ πονηρᾶς πράξεως, ῥυσάμενος ἡμᾶς, δώρησαι ἵνα πάντοτε εὐπειθῶς σοὶ τῷ καλῷ Ποιμένι τῶν ψυχῶν ἡμῶν ἑπώμεθα· ὅπως ἀπλανῶς ἐν τῷ ἁγίῳ Σου θελήματι ζῶντες, καὶ τὴν ἐτήσιον μνήμην αὐτοῦ ἐν ᾠδαῖς πνευματικαῖς γεραίροντες, καταξιωθῶμεν, αὐτοῦ πρεσβεύοντος, τῆς μερίδος τῶν σωζομένων ἐν οὐρανῷ συμμέτοχοι εὑρεθῆναι. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΤΕΛΟΣ,

καὶ τῷ ἐν τοῖς Ἁγίοις αὐτοῦ

Θαυμαστῷ Θεῷ ἡμῶν

Δόξα.

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑΚΩΣΤΑ